ἘΠΙΘΑΛΑΜΙΟΝ 9.

# IN HONOREM SA-CRI NVPTIALIS CLARIS-SIMI ET DOCTISSIMI VIRI, D. PE-TRI CAROLI, Ecclesiæ Varadinæ in Pannonia Pa-storis, & Pudicißimæ SPONSAE eius ANNAE, honesti et Prudentis Viri D. GEORGII, BEREGDI filiæ:

SCRIPTVM

A

IOHANNE BONIFACIO Debrecino.

Vitebergæ,
Excudebat Iohannes
Crato.

ANNO M. D. LXIX.

# ΕΠΙΘΑΛΑΜΙΟΝ.

Ἦθος ἔην ἐνὶ λαῷ δίῳ ὁ πτολίεθρα
πρόχωρα σπούδασε ἔτι, νῦν γλαυσοὺς ἀνάκτων
ἄζει φλοῖσβος, ὅταν ξεστὴν ἐτάννυσε τράπεζαν,
καὶ δαίτας γε θαλείας τῶν ποίησε τραπέζαις
εὐχεαδς ἤγερθέν ὁμηγέρεες τ' ἐγένοντο
πρὸς τῶν συγγαμίην ἱερὰν, γανυροὶ καὶ ἅπαντες.
τοῖς ἐπέεσσιν ἀμοιβαίως τὸ πρᾶγμα φύσηος
δαίτην δαινύμενοι θαλερόν τε γάμον, προσερχοῦσιν,
σήματα καὶ δίλογοῦσ' ἡρώων καλὰ παλαιῶν.
ὡς ποτὲ τοῖς ξείνοις δείξεις καλὰς παρέχουσι
εἰς μέσον ἄιροντας ἐδίδω μανοήιος ἥρως.
ὄφρ' ἴδε τῶν σίμων γένεσιν περὶ τοῖο λέοντος.
τέκνα μεδοῦ μετέπουσι περὶ μένεος βασιλῆος.
τοῦ τε εὐστεφάνου ἐρατεινῆς ὡς γε ἐλιοσῆς,
αἰνείας ἥρως ὃ δαΐφρων δαίτας ἐσῖξεν,
καὶ παρὰ θηλυτέρᾳ ξεινιαθεὶς τοῖς σὺν ἑταίροις,
τὼς τε λόχους δανάων πλώσεις τε ἀναμνεῖ ἑταίρων.
ὡς παρὰ Φαιήκων, ὀδυσεὺς ὅτε ἧκε πρὸς αὐτοὺς,
κήδε' ἐπεὶ τῷ πολλὰ δόσαν θεοὶ οὐρανίωνες,
καὶ τότε φορμίζων, τῷ μοῦσ' ἐφίλησεν, ἄειδεν
τὰ κλέα τῶν ἀνδρῶν ἡρώων καὶ βασιλήων,
νεῖκος ὀδυσσῆος καὶ πηλείδεω ἀχιλῆος,
ὥς ποτε ἐκπάγλοις ἐπέεσσ' ἐνὶ δαιτὶ θαλείῃ
δηρίσαντο μέγαν πάντες ὄχ' ἄριστοι ἀχαιῶν.
αὐτὰρ καὶ ἀνεβάλλετο καλὸν ἀειδέμεναί τε
ἀμφ' ἄρεος φιλότητος εὐστεφάνου τ' ἀφροδίτης.
ἦθος τοῦτο παλαιοὶ ἐνὶ τῶν δαισὶ φίλησαν.
Καὶ βασιλῆες ἅπαντες καὶ πεπνυμένοι ἄνδρες,
ἐν τῶν δαισὶ φύσηος ζητεῖν αἴτια πάσης.
δεῦτε φίλοι ἄγετ' οὖν νῦν οἵτινες ἤλθετε κυδνοῦ

εἰς

Tiszántúli Református Egyházkerület Nagykönyvtára, Debrecen
RMK 392

εἰς νυμφῶνος ἱρὴν ἑορτὴν, ἀλλὰ μέλπετε ταύτην
τοῦ θαλαμοῖο ἱρὴν ἑορτὴν καὶ ἀγλαὰν, αὐτὸς
λέξω τοῦ γε γάμου πομπὴν καὶ τάξεος αὐτό.

Αὐτὰρ ἐπεὶ πατρὸς ποτὶ δώματα ἦλθον ἅπαντες,
κούρης εὐπλοκάμοιο, ὅσοι κεκλημένοι ἦσαν,
ἔνθ' ἄρα ἧστο πατὴρ σὺν πολλοῖς, ἀμφὶ δὲ κοῦροι,
καὶ δ' ἄρα ὡς ξείνους ἴδον ἀθρόοι ἠγερέθοντο,
οἶνον ἔμισγον ἐνὶ κρητῆρσιν καὶ δόσαν αὐτοῖς.
καὶ τότε βὰν ῥα ἵμεν πάμπολλοι ἐς μέγα δῶμα
τοῦ νυμφῶνος ὅπου εἴδωσι γάμον μεγάλον γε,
πλῆντο δ' ἄρ' ἕρκεα, αἴθουσαι τε καὶ οἱ δόμοι ἀνδρῶν
ἀγρομένων, πολλοὶ καὶ ἔσαν νέοι ἠδὲ γυναῖκες.

Αὐτὰρ ἐπεί δ' οὖν ἤγερθεν, καὶ ἀθρόοι ἦλθον,
τοῖσι δ' ἀνιστάμενος ποιμὴν χρειοῖς ὁ Πέτρος
Μήλιος, ὃς πολλῶν ἀνδρῶν κάλλιστος ἔεσκεν,
τοῖς τε λόγοισι κέκαστ' ἅπαντας, πολλὰ καὶ εἰδώς,
αὐτοῖς εὐφρονέων ἀγορήσατο καὶ μετέειπεν,
κλῦτε μοὶ οἱ ἄνδρες δῖοι, φίλοι, ἠδὲ νέοι τε
κέκλυτε μεθ' καλλιπάριοι κοῦρ' ἠδὲ γυναῖκες.
ὄφρα ἵρους λέχεος νῦν ἐλλεδανοὺς ἐθέληθαι
Καρόλι ἀονίοιο χοροῦ λαμπρὸν κλέος, αὐτῆς
ἐσθλῆς, οὐδὲν ἄρειον καὶ κρεῖσσόν γε δάμαρτος
κἄγω λέξω ἁπλῶς πᾶσι περὶ τοῦ δὲ γάμοιο.

Λάμβανε οὖν ἀγανὴ δὲ δίδου νῦν ἃ καλὰ γυνὴ κεν
ὅρκου τοῖς νομίου τεθ' ζευγνυμένη θαλάμοισι.
ἤδε δάμαρς ἢ ὁμοφρονέουσα νοήμασιν ἐστιν
ἀνέρι, καλῶς ἀμφότεροί γε τὸν οἶκον ἔχητον,
χάρματα εὐμενέτῃσι καὶ ἄλγεα δυσμενέεσσιν
πολλὰ δίδω, ὅτι εἰδοῦσι κρεῖσσόν τε χερεῖον.
κεδνοτέρη πάσων κροκίων, πάντων τε χρυσῶν γε
κρείσσων τῆς γενεῆς αὐτῆς, γλυσσῶν γλυκύτητος,
τολμᾷ ἐνί τε κακοῖς αὐτῇ πεθεέμμεναι ἀνήρ,

αὔσει εἰς αὐτῆς κόλπον σύμπαντα χεέμεν.
ᾧ γὰρ τῆς ψυχῆς τε δίκη ποίησε χρέος τε
σώματος, ὀφθαλμοῖς εἶναι τὸ πλεῖον φιλεῖ αὐτῆς.
σπουδὴ ἐναισίμη εἰς ζωῆς θραυστῆς γε ἄρ καιρούς.
Μὴ πίστιν τε βαρεῖαν, μὴ ἀρνεῖται χαλεπὴ τε
δῶρον, ὃ τῆς μεγάλης συμπάντως δεξιότητος
δίωκει, καὶ φίλον ἄνδρα μάλιστα ἄρ ἔκλυε, ἣ ἄρ
ὡς ἄγεται τῆνόν τε, τέθηπέ τε δείδιε τ' αἰνῶς,
ἣ φιλοτέχνη ἑαυτῆς πάντως ἔργα κομίζει
ἱστὸν ἐποιχομένη καλὴν ἄρ καὶ ἠλακάτην τε,
ἀμφιπόλοισι κελεύει καὶ δμώοισιν ἅπασιν
ἔργον ἐποίχεσθαι, σύμπαντά τε ἄλλα τελεῖσθαι,
τρισμάκαρες πόσιες λαβόντες τὴν γε γυναῖκα.
ὡς νηῦς θητείας βαλίας ἐνέχει περὶ πορθμοὺς
σύμφερα προσκτᾶται δολιχαῖς πάμπολλα ὁδοῖσι.
πρόσθε καὶ ἦμος ἐφάνθη ἡ ῥοδοδάκτυλος ἠώς,
ἐκ λεχέων αὐτὴ παρὰ τοῦ φίλου ὄρνυται ἀνδρὸς
εἵματα ἑσσομένη ταχὺς, ἀμφιπόλοισι κομίσσειν
ἔργα κελεύουσα ἄλοχος δέσποινα καὶ αὐτή
νηπιάχους παῖδας μαθέειν δῖα γε γυναικῶν
τὸν τε θεὸν γε φοβεῖσθαι τοὺς τε γονῆας ἀγαυοὺς
τιμῆσαι τε νόμοις πείθεσθαι ἅπασι κελεύει
τοῖς ἐπέεσσι φίλοις καὶ ταῖς πληγαῖς χαλεπῇσι.
μηδὲ φίλης ἐσθλοῖσι μόνον τ' ἂ δόμος βαλανεύει,
ἀλλὰ ἴμεν βαίν' ἐκ πόλεως σὺν δὲ ἀμφιπόλοισι,
αὐτῇ καὶ ἄρ μάλιστα μέλει ὡς αἶψά γε δῶμα
ἀφνειὸν πέλεται καὶ τιμηεστέρη αὐτή,
συλλέγετ' αὐξομένοις ληΐοις ἀγροὺς τε προσείλους.
ἐξ ὧν εὐφυῆς νεμέθη ἄεθλον πάντως δῶ.
ἣ τρέφει ἔρνος ἐνὶ χώρῳ καλῷ ἐριθηλὲς
καὶ φύει αὐτὴ ἀλωὰς τοῦ μεγάλοιο πόνοιο
ὡς λαυρῆς ἀποθήκης ἀφρήσει ἄρ ἣ οἶνος,

τῃ

τῇ δ' ἀλόχῳ γὰρ φίλῃ ταμίῃ τε μέλει κεν ἐχέσκειν
πάντως τοῦ μελιηδέα αἴθοπα οἶνον ἐρυθρὸν,
καὶ ζωννύσκετο τὰς ψοιὰς κίθυνά τε λέγουσι,
ἔστι κολυφρὴ ἀγαν κοὐκ ποιεῖ γάρ γε παρολκὴν,
τὴν ἡ κατάπαυσις ἄκρη καὶ ἧσις ἁπάντως,
μηδένος οὐκ φλαῦσθαί τε δύνασθαι χεῖρα πόνοιο
ἐηιδίους αἰεὶ τ' εὐχύλους κούφισιν ἀθρὴν,
εὖτε θεοῖο παρόντος πάντα τὰ ἔργα κομίζει·

μὴ γὰρ ἄθλην μακροῖο φερῆναι δ' ἡλικ ἱδρῶ
φλάζει εἰς πυρσοὺς μεγάλως μελέδημά τε καὶ φρὴν
νᾶκος νῦν τυπέει νῦν δ' ἵστιν ἐποίχεται αὐτὴ,
νῦν θώκους δέμους πάντας θέλγει γε περίφρων,
χρήματα μὴ κακὴ ὄλλῃ ἄφαρ τε κατάχρυσις αὐτῆς.
μὴ δείδει τοῦ χειμερίης τε τροπῆς μέγα κρυμοὺς,
ῥιγεῖ ἐπεὶ δὴ γαίη δυσθεάτου παγετοῖο,
μὴ θαμβεῖ πνοιὰς παντοίων τῶν ἀνέμων τε
ἐξαπίνης ἐλθόντων σὺν τῇ λαίλαπι πολλῇ
ῥεύματα μὴ τρομεῖ ὀμβροφόρου οὐρανὸς, ἑαυτῆς
εἵματα ἀγλαὰ ἑσσομένη τοῦ κογχολίοιο,
καὶ βίστῳ ἐρέφει φαύλῳ τὰ χρῶτα ταχηρὰ,
κρήδεμνον αὐτὰ παρειάων λιπαρὰ ἐχομένη γε
ἀμφίπολοί τε παρεστᾶσιν κεδναὶ ἑκάταρθε
οὐκ ὡς στιλβούσῃ χίτονος λαμπροῖο φανοῦ τε
θαυμάζῃ μαλάκῳ μυδάῃ τε καὶ ἰθμαλὴ γαῦρα.
δυκνύῃ ἀλλ' αἰδῶ γὰρ σέπτην πᾶσι βροτοῖσιν,
καὶ τῆς σωφροσύνης γὰρ καταγνὴ ἀγλαὰ δῶρα,
οὐκ αἰσχρὸν μηδὲν τοῦ θάρσους λαῖδρα κυίσκει
μερμηρίζει, ὥστε φίλῳ ἢ τὸ κλέος ἀνδρὶ,
αὐτὴν καὶ μεγάλοιο πόσιν πυρὸς ἀμφαγαπάει.
ἀσθενεῖ χαίρει ὅτι νοῦν μὴ ἔδωκέ τε κέρδει,
ἀλλὰ τρυφὴν χρηστὸν μεσίτην γε γινόσκῃ ἑαυτῆς,

Νῦν μοι λεξομένη γλώττης κάμψης χάριν, ἤτοι
ὥσπερ τοῦ στόματος φιλέει φιλεόρτου ἐείπειν,
ἠὲ σὺν ἐννοίῃ δι' αὐτῆς παίδεσσι φίλοις δῶ,
δημοσίους θώκους ζωῆς περὶ ἠὲ λόγοιο,
σκανδάλῳ οὐκ ἄλλοις ἐστὶν λαλινοῖσί γε, ἤτοι
μὴ παρὰ τὸν τεθμὸν λαλέει μηδὲν γυνὴ αὐτή,
πάντως κοσμίου ἐστὶ μνήμων ἤτοι δέοιο,
καὶ χρειοῖο ἔπη ἐνέπει [redacted] ἐπιτηδές γε
παιπάλλει παρέχουσι βάσεις ζωὴν τε ἑαυτῶν,
ὥς τι περὶ χριστοῦ ἔμαθον τί τε καὶ περὶ πατρός,
αὐτὴ πάντα θέλει μελεδήματι πίστῳ ἐχέμμεν,
καί περ πάμπολλαι στοναχαὶ νάσσουσι τε νύμφην,
ἥδε γυνὴ πάθεν ἄλγεα πολλά τε ὃν κατὰ θυμόν,
χάρματα ἀλλ' αὐτὴ χαλεπὰ σχήσει μετέπειτα,
παισὶν ὅταν γε βίος γαυροῖς αἰζήιος ἔλθῃ,
μητέρα τοῖς ἀίνοισι φίλην κλείσουσ' αἰδοίοις.
ἄλλας τῷ ἀμφὶ πλούτῳ ἐπένουσι καὶ αὐτῷ
ἐν κόσμῳ μέγα τοὔνομα οὐνόματος μὲν ἔχουσιν.
ἐς ὃν τῆς ἀλόχου μορφὴ ἤπαφε εὐπλοκάμοιο,
αὐτὸς τὴν ἄλοχον φιλέει καὶ ἔχειν θαλάμοιο
τοίην, ἡ καλλιπάρειος λευκώλενός ἐστι.
αἰεὶν τέρπεται ἐσθλὸς ἀνὴρ τε καὶ εἵνεκα κούρης,
τοὐνόματος μεγάλοιο κλέους καὶ ἡ ἄξιός ἐστιν,
ἥ τε φοβεῖται χριστόν, χρωτὸς ἀγαῖα καὶ ἄζει,
τὴν πάντες προσερήσουσιν καὶ ἀγαυὴν γε τίσουσι,
ἄνδρες ὅπου τε γυναῖκες ὁμηγέρεες τ' ἐγίνοντο.
καὶ σοὶ ὅταν πέτρε φίλε ἡ ἄλοχος φίλη ἐστὶν,
σοὶ ὁ θεὸς δότε πάντ' ἄγαθα φρεσὶ ὅσσα μενοινᾷς,
σὺν παῖδας καλοὺς, οἶκον καὶ ὁμοφροσύνην τε
ἐσθλήν, (μηδὲν γὰρ τοῦ μὴ κρεῖσσον καὶ ἄρειον
ἢ ὅθ' ὁμοφρονέοντε νοήμασι δῶμα ἔχητον.)
ἤλθετε ἀμφότεροι δι' οὖν ὅρκια πιστὰ τιμῶντες

ἀνὴρ

ἀνὴρ ἠδὲ γυνὴ εὐπλόκαμος, καὶ χεῖρα λαβόντες,
ἀνὴρ τῆς κούρης, κατὰ τὸν νόμον ὅρκον ὄμοσσαι.
ὣς δέ ἔφη ποιμὴν δαΐφρων χριστοῖο ὁ πέτρος,
τῆνοι οὖν τότε ἐλθόντες καὶ χεῖρα λαβόντες
δεξιτερὰς, τε θεοῦ μέγαν ἀθανάτου ὅρκον ὄμοσσαν.
ἡ δὲ γυνὴ κλαίησι ῥέθος φίλον ἀμφιπεσοῦσα,
ὡς φιλέει κούρη δ' ὑπὸ βλεφάροισι παρειὰς
δεύειν δάκρυα πολλά, ὅταν γε πόσις γαμεῖ αὐτήν.
αὐτὰρ ἐπεὶ ὄμοσάν τε τελεύτησάν τε τὸν ὅρκον,
αὐτίκ' ἔπειτ' ἐσθλοὶ νέοι ἀθρόοι ἠγερέθοντο,
ἄλλοι τοῖς ξείνοις μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
οἱ μὲν δαῖτ' ἐντυνόμενοι, κρέα πολλὰ καὶ ὄπτων,
οἱ μὲν δέ αὐτὰ δατεῦντό γε καὶ παρετίθεντο, καὶ οἶνον
τοῖς ξείνοισι ἔμισγον ἐνὶ κρητῆρσι, καὶ αὐτοῖς
νώμησαν συμπᾶσιν δαίτην δαινυμένοισι,
αὐτῶν μέσσῳ δαινυμένων ἐρίηρος ἀοιδὸς,
καὶ τήνοισιν ἄειδε καλῶς ἡδεῖαν ἀοιδὴν
τερπομένην πάντας μεγάλως ἐν δαιτὶ θαλείῃ.
οἱ δ' ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
αὖθις δ' ἤρχοντο κιθαρίσαντες κιθαρισταί,
ἅλμα ἀειδόμεναι δὲ νέοι σὺν παρθενικαῖσι
χεῖρα λαβόντες ἐποιήσαντο χορείαν ἅπαντες
ἑξῆς, ἐρχόμενος δ' εὖ εἰδὼς κατὰ δ' ἄλλοι,
οἱ δὲ νέοι δηρὸν τέρποντες γ' ἅλμασι θυμῷ,
καὶ μνηστὴρ δ' εὐφροσύνῃσι ἰαίνεται αὐτῆς
εἵνεκα τῆς κούρης, λῦσαν χορὸν εἰσιχνεῦσαν
αὐτὰρ ἐπεὶ δ' ἥλαντο ὅσον τοῖς ἤθελε θυμὸς,
νήδυμος ὡς ὕπνος σφίσ' ἐνὶ βλεφάροισιν ἱκάνει,
κακκείοντες ἔβαν μετέπειτ' οἶκόν τε ἕκαστος.
τῆνοι καὶ γαμβρῷ καὶ νυμφῇ εὐπλοκάμοιο
εὐλογέοντες, ὁμοφροσύνην οἶκον ὀπάσσε
χριστὸς, καὶ ἐσθλὴν ἀνδρὸς καλλιπάρειόν τε
τὴν νυμφὴν δοίη ὁ θεὸς σὺν παισί γε πολλοῖς.

ὡς οὖν λῷστε ἀνὴρ τοίην ἣν ἔχησι γυναῖκα,
ἣ προσέχουσα θεοῖο, σέθεν προσέχουσα καὶ αὐτή.
εὐλογέω κἀγὼ σὺν τοῖς ξείνοισι φίλοισι,
καὶ δὴ ἐσθλοῖο γάμου ἄρχοντι ἐπεύχομαι, ὥστε
ἀθάνατος θεὸς αἰὲν ὑμῖν [redacted] πνεύματος αὐτοῦ
τοῦ ἁγίοιο παρῶν ὑμέων ὁρμήματι ὀρθοῖ,
ὡς θεῷ ἀθανάτῳ τε δύνῃ παρέχειν τὸ σέβασμα,
σὺν σέο θέν τε δόμῳ χριστὸν μεσίτην μολπάζειν,
ὡς ζήσῃς γαλερὸς δηναιὸς σύν τε δάμαρτι,
καὶ κένεον ἣν δόμον πιμπλᾷς σὺν σοῖσι φίλοισι
τοῖς τεκέεσσι, μακρὰν φάος ἡλίου εἰσοροῦσι.

ΤΈΛΟΣ.

τέλος

Tiszántúli Református Egyházkerület
Nagykönyvtára, Debrecen